# II.

# Die *Καταρχαί*, nach Maximus.

(Vers 1725—2001.)

---

## *Περὶ ἀποτελεσμάτων τῆς Σελήνης.*

### 1. *Περὶ αἰχμαλώτων ἀγορᾶς.*

*Σελήνης οὔσης ἐν ζῳδίοις τοῖς ἀνθρωποειδέσι*
*τότε δοῦλον ἀγόραζε, ἐσὲν ἵνα δουλεύσῃ·*
*ἔσται γὰρ ἀγαθώτατος καὶ πιστὸς ἐν δουλείᾳ.*
*πρὸς δὲ Σκορπίον ἡ αὐτὴ Σελήνη προσιοῦσα*
*δοῦλον γηπόνον ἐξωνοῦ καὶ καλῶς ἀποβαίη.*
*ἐν δὲ Κριῷ καὶ Λέοντι, ἀλλὰ καὶ τῷ Τοξότῃ,*
*πρὸς μοίραις ταῖς ἐσχάταις δέ, τοῦ δ' Αἰγοκέρου πρώταις*
*ποιμένα δοῦλον ἐξωνοῦ καὶ τυχηρῶς ὑπάρχει.*
*ἐν δ' Ἰχθύσι καὶ Ὑδροχῷ, ἀλλὰ καὶ τῷ Καρκίνῳ*
*καὶ ταῖς ἐσχάταις μοίραις δέ, τοῦ Αἰγοκέρου λέγω,*
*ναύτην δοῦλον ἀγόραζε, ἀλλὰ καὶ ἁλιέα.*
*Σελήνης οὔσης ἐν Κριῷ κναφεῖς καὶ ὑφαντάδας,*
*ἐν δὲ Παρθένῳ μάγκιπας, ἀλλὰ καὶ γεηπόνους,*
*ἐν δὲ τῷ Ταύρῳ τοὺς δαιτροὺς, Ζυγῷ δὲ καὶ Διδύμοις*
*καπήλους καὶ ἐμπόρους τε προσαγόραζε δούλους.*

---

Hauptüberschrift in B und M *περὶ ἀποτελεσμάτων τῆς σελήνες*; im V (erst vor 1789) *τῆς σελήνης κενοδρομία καὶ τὰ λοιπά.* In M 1725 bis 2001 fortlaufend überliefert

. 1725—1739 B M V; B f. 90r; M *ρλ'* f. 93r; V *ρϛ'* f. 335v; Titel im B *περὶ ἀγορᾶς δούλων· σημείωσαι*; im V und im Index des V (f. 28r) *περὶ αἰχμαλώτων ἀγορᾶς καὶ πράσεως.* In M ist fast jedes Wort gekürzt || 1725 *τῆς* ☾ M | *ζώδοις τοῖς* B M] *ζωδίοις* V || 1726 *ἀγόρασον* B M | so V] *ἐσένα νὰ δουλεύει* B: *ὅπως νά σε δουλεύσῃ* M || 1727 *δουλεία* M] *τοῖς δούλοις* B: *δουλίες* V || 1728 *προϊοῦσα* V || 1730 *λένοντι* B || 1731 so V] *πρὸς ταῖς ἐσχάταις μορι..* M: *πρὸς ταῖς ἐσχάταις μοίραις μὲν τοῦδε ἤτοι γε ζώδου πρώταις* B || 1732 *ἐξωνοῦ* M V: *ἐπικτῶ* B | *τυχηρός* B || 1733 so V] *ἐν ἰχθύσι δὲ καὶ* M: *ἐν δὲ ἰχθῦσι κ'* B || 1734 *ταῖς* B M] *τὸν* V | *ἐσχάταις μοίρες λέγω δὲ ἤγουν τοῦ αἰγοκέρου* B || 1736 *ἀναφεῖςτ. καὶ ὑφάντας* V | Vers 36 fehlt B || 1737 *μάγγιπας* M: *μάνγκιπας* V | *γεηπόνας* V || Im V folgt auf 1739 f. 336r, das Kapitel *ρϙα'* <*περὶ ἄρρενος καὶ θήλεος*> siehe Vers 2729 bis 2766, Stud. 56

---

Quelle für diese 276 Verse ist Maximus (*Μάξιμος Ἠπειρώτης ἢ Βυζάντιος, φιλόσοφος, διδάσκαλος Ἰουλιανοῦ Καίσαρος τοῦ Παραβάτου*, ed. A. Ludwich S. 3) und zwar die pros. Metaphrase 79—96, vgl. Stud. 28—29 || Über Cod. M vgl. auch Cat. II, 28 f.

## 2. < Περὶ πλοῦ καὶ ἐμπορίας. >

Ἄλλο πάλιν θαυμάσιον πρὸς πλοῦν καὶ ἐμπορίαν·
Σελήνης οὔσης ἐν ζῳδίοις τοῖς ἀνθρωποειδέσι
μετ' ἀγαθοποιοῦ τινος ἐκ τῶν ἀστέρων αὕτη,
εἴτε πρὸς σχῆμα βλέπουσα ἢ συνοδεύουσά τε
ἀγόραζε καὶ πόρθμευε, πλοῦ καὶ ὁδοῦ κατάρχου·
ἐν δὲ Καρκίνῳ, Ὑδροχῷ καὶ τοῖς νηκτοῖς Ἰχθύσι,
πρὸς δὲ καὶ τὸν Αἰγόκερον ἀκάκωτος προσοῦσα,
ἐπωφελές, ἐπίκερδον πρὸς τὸ γεμίσαι πλοῖον,
πραγματευτῶν ἀγώγημα, πράγματα καὶ κερδήσεις.
Σελήνης δ' οὔσης ἐν τισι τῶν ἄλλων λοιπῶν ζῳδίων
καὶ κατὰ σχῆμα βλεπούσης ἢ καὶ συνοδευούσης
Κρόνον καὶ Ἄρη τὸν κακὸν τοῦ πλοῦ μὴ καταρχέσθω
μήτε τοῦ φόρτου· βλάβη γὰρ ἐκ τῶν ἀστέρων πέλει.
ἀλλ' ὅμως βλαβερώτερος ὁ Κρόνος τοῖς ναυτίλοις.
ὁ Ἄρης μὲν πολλάκις γὰρ ἐκ τοῦ κινδύνου σῴζει
τοὺς ναυτιῶντας ἐκ βυθοῦ· ὁ δὲ Κρόνος οὐδ' ὅλως,
ὡς οὗτος χαλεπώτατος παρὰ ταῖς ναυτιλίαις.

## 3. Περὶ ἀποδήμων.

Πάλιν Σελήνης ἐν Κριῷ πελούσης ἀκακώτου
εἴ τις ἀποδημήσειε, ταχέως ὑποστρέψει·
ἐν δὲ τῷ Ταύρῳ ἀβλαβῶς καὶ μετὰ κέρδους ἔλθῃ·
ἐν δὲ Διδύμοις ἄπειρον χρόνον ἐν ξενιτείᾳ
καὶ λυπηθεὶς τὰ μέγιστα ἴσως οὐχ ὑποστρέψει.
ἐν δὲ τῇ πρώτῃ Λέοντος ἡμέρᾳ μὴ κινήσῃς,
βλάβη καὶ φόβοι γὰρ ἀνδρῶν προσαντήσουσι πλεῖστοι,
πρὸς δὲ δευτέραν ἡμέραν κίνησον τὴν ἡμέραν,
ὅτι τὴν νύκτα νὰ σωθῇς, ὅλως μή το τολμήσῃς.
ἐν δὲ Καρκίνῳ <ἐν> ξένῃ γῇ χρονίσῃ πρὸς ὀλίγον,
ἀλλὰ χαίρων ὡς ἔνδοξος καὶ πράξας ὑποστρέψει,

---

1740—1757 B M, im Anschluss an das Vorige, Titel aus Maximus. *σημείωσαι* B am Rand ‖ 1740 *ἄλλο δὲ* B ‖ 1741 *ζώδοις* B ‖ 1742 *ἀγαθοπ˜..* M | *ἀστέρων* B] *✻ων..* M gekürzt ‖ 1743 *προσχῆμα* B ‖ 1748 *πραγματευτὴν* B | *κερδήση* B ‖ 1749 *ζώδων* B ‖ 1751 *ἄρην* B | *τὸν*] *αἳ* B: *αἳ* M | *καταρχέσθαι* B ‖ 1754 *ὁ μὲν γὰρ ἄρης πολλάκις* M ‖ 1756 *ὡς χαλεπώτατος οὗτος* M

1757—1788 M f. 93v *ρλα'*; B hat nur Vers 1757 (ohne Titel): *πάλιν σελήνη εν ἑρμῆ ♈ πελούσης ἀκακώτου*, f. 90r, dann folgen 1½ leere Seiten ‖ 1766 *χρονίσῃ*] *ξενίση* M (*ἐν ξένῃ γῇ χρονίσει* Max.) ‖ 1766 und 1767 gehörten, nach Max., vor 1762 ‖ 1767 *ἔνδοξος* M (*ἐνδόξως* Max.)

---

Zu 1751 hat Max.: *Σελήνης οὔσης μετὰ Κρόνου ἢ μετὰ Ἄρεως μὴ κατάρξῃς..* ‖ 1754 *ὁ—πολλάκις* stellt Max. wie Cod. M ‖ 1755 *ναυτιῶντας* vgl. Preg. 28,7

*ἐν δὲ Παρθένῳ χρόνιος   ἐν ξένοις διατρίβει,*
*ἀβλαβὴς δ' εἰς τὰ ἴδια   πάλιν προσαναζεύξει.*
*ἐν δὲ Ζυγῷ ἀπόδημος   περὶ τοῦ ζητουμένου*
*αὐτοῦ τοῦ ἐνθυμήματος   καὶ τῆς βουλῆς ἧς ἔχει·*
*εἰ μέν ἐστι πρὸς πράγματα   δίκαια, νὰ νικήσῃ,*
*εἰ δὲ πολλάκις ἄδικα,   νὰ μή το δοκιμάσῃ.*
*ἐν δὲ Σκορπίῳ τῷ ζῳδίῳ   ἡ Σελήνη προσοῦσα*
*ἀποδημήσας ἄνθρωπος   ὠφεληθῇ μεγάλως,*
*ὁ δ' ὑποστρέφειν τολμήσας   πάλιν πρὸς τὰ οἰκεῖα*
*κερδήσει χρήματα πολλὰ   καὶ ταχέως εἰσέλθῃ,*
*πλὴν λάθρᾳ καὶ μετὰ σιγῆς,   κανεὶς μή τον νοήσῃ.*
*Σελήνης ἐν Τοξότῃ δὲ   μακρὰν ὁδὸν ἀνύσει*
*καὶ χρόνον διατρίψειε   βραδύνων ἐν τοῖς ξένοις.*
*ὁ δ' ὑποστρέφειν βουληθεὶς   καὶ χαίρων ἐπανήξει.*
*ἐν δ' Αἰγοκέρῳ μηδαμῶς·   κακὸν γὰρ τοῦτο πέλει.*
*ἂν δὲ ὑποστρέψαι θέλῃ,   ἀβλαβὲς τόδ' ὑπάρχει.*
*ἐν δ' Ὑδροχῷ τὴν δευτέραν   ἡμέραν κινητέον,*
*ἐν δ' Ἰχθύσι πρὸς πόλεμον   εἴτε καὶ πρὸς ἁλιείαν,*
*ἀλλὰ καὶ κυνηγέσιον   καλὸν τὸ δρᾶμα πέλει.*
*ἡ γὰρ Σελήνη τοπικῶς   ἐξ ἀγαθῶν ἀστέρων*
*μαρτυρουμένη πρὸς σχῆμα,   συμφέρει τάδε πάντα.*

## 4. Περὶ γάμου.

*Καὶ γὰρ ὁ γήμας ἐν Κριῷ   τῆς Σελήνης προσούσης*
*βλαβήσεται καὶ λυπηθῇ   ἀπὸ τῆς γυναικός του.*
*ἔσται γὰρ ἀκατάστατος   <καὶ> ἄστοργος πρὸς τὸν ἄνδρα,*
*παλίμβουλος καὶ μοιχαλὶς,   καταλείψασα τοῦτον.*
*πρὸς δὲ Ταῦρον τὰ ὅμοια   καὶ ταῦρος ἔσται ὁ γήμας.*
*ἐν δὲ Διδύμοις οὐ καλὸν   τῇ πρωτίστῃ ἡμέρᾳ.*
*τῇ δὲ δευτέρᾳ εὔγαμος   καὶ χαρήσεται πλεῖστα·*
*ἐν δὲ Καρκίνῳ, ταπεινὲ,   χαχάλην νά σε δώσῃ·*
*ἐν γὰρ Λέοντι ἄκουσον   κἂν θέλῃς, ἔπαρέ την·*
*ἔσται γὰρ ὑπερήφανος   ἡ γυνὴ καὶ ὀργίλη,*
*μὴ πειθομένη τῷ ἀνδρί,   τοῦτον δὲ λοιδοροῦσα*

---

M: 1768 *διατρϊτου* M (*χρονίσει* Max.) ‖ 1774 *ζωδ.* ‖ 1776 *ὁ δὲ προστρέφειν* M (*ὑποστρέφειν* Max.) ‖ 1781 *προσεπανήξει* M ‖ 1783 *δὲ*] *δ'* M ‖ 1784 *δευτ.ρ..ημ.ρ..* gekürzt M ‖ 1785 *ἅλιαν..* M

1789—1866 M V. M ohne Titel, noch zu Kap. *ρλα'*; V f. 326r und im Index des V f. 27v: *ρο'· περὶ γάμου· τῆς σελήνης κενοδρομία*; f. 326r setzt noch zu: *καὶ τὰ λοιπὰ* ‖ 1791 *ἔστι* M ‖ 1792 *παλίμβολος* V ‖ 1793 *ἔστω γήμας* M ‖ 1794 *τὴν πρωτίστην ἡμέραν* V ‖ 1796 *χαχάλιν..* M: *χαχάλην* V (*χαρχάλι?*) ‖ 1797 *καὶ ἂν* V ‖ 1799 *πειθουμένη* V | *τούτω..* V

---

1780 fast wörtlich = Maximus ‖ Zu 1793 hat Max. *ἔσται .. γυνὴ μοιχαλὶς, πολύκοινος..*, zu 1796 *..τὸν ἄνδρα καταλείψει ὑβρίζουσα* ‖ 1797 *ἔπαρε*, Stud. 44

*μᾶλλον καὶ ὀνειδίζουσα,   πολλάκις τύπτουσά τε*
*καὶ δρασσομένη τῶν τριχῶν·   ἰδέ την ἄν σε ἀρέση·*
*ἐν δὲ Παρθένῳ φεῦγέ την   καὶ λάβε τὴν χηρίτζαν,*
*ἐν δὲ Ζυγῷ τὴν δούλην σου   εἴτε καὶ παλλακίδα·*
*ἐν δὲ Σκορπίῳ παράλαβε   τὴν πρωτίστην ἡμέραν*
*παρθένον, ἵνα ἀναπαυθῇς·   δευτέραν τε καὶ τρίτην*
*μή την ἐπάρῃς, ταπεινὲ,   καὶ νὰ μετανοήσῃς.*
*ἐν δ' Αἰγοκέρῳ οὐ καλὸν   τὸν πρωτόγαμον ἄνδραν,*
*ἀλλὰ τὸν δευτερόγαμον,   εἰ γυνὴ χήρα πέλει·*
*ἐν δὲ Τοξότῃ, Ὑδροχῷ,   πρὸς δὲ καὶ τοῖς Ἰχθύσιν*
*ὠφεληθήσεται πολλὰ,   καὶ γὰρ ἀπὸ τῆς νύμφης.*
*Σελήνη συνοδεύουσα   Ἡλίῳ ἐν τῷ γάμῳ*
*εἴτε κατὰ διάμετρον,   χειρότερον οὐκ εἶδες·*
*εἰ δέ τινα τῶν ἀγαθῶν   ὁρῶσα πρὸς τὸ σχῆμα,*
*ὠφέλιμον καὶ θαυμαστὸν   τὸν γάμον προμηνύει.*

## 5. *Περὶ ἀσθενούντων.*

*Περὶ δὲ νόσων ἄκουσον   πάλιν ἐκ τῆς Σελήνης·*
*εἰ ἐν Κριῷ τις κατακλιθῇ,   οὗτος οὐ τελευτήσει,*
*ἀλλ' ἀκινδύνως καὶ καλῶς   τὴν νόσον διαβάσει,*
*ἄνευ τῆς κεφαλαλγικῆς,   ὅτι κακὸν ὑπάρχει·*
*ἐν δὲ Ταύρῳ τὴν πάρεσιν   ὁ νοσῶν ὑπομείνας*
*καὶ παρακόψας σύντομον,   τὴν ζωὴν πάλιν ἴδῃ.*
*εἰ δὲ περὶ τὸν τράχηλον   συνάχιν ἴσως ἔλθῃ,*
*ὀλέθριον γενήσεται   τὸ πάθος τῷ νοσοῦντι.*
*ἐν δὲ Διδύμοις ὁ πεσὼν   τὴν πρωτίστην ἡμέραν*
*ταλαιπωρήσει χρόνιος   κείμενος ἐν τῇ νόσῳ,*
*ὁ δ' ἐν δευτέρᾳ πεπτωκὼς   ἐντὸς τρίτης ἡμέρας*
*ἠρεμήσει καὶ ἀναπαυθῇ,   ἂν οὐκ ἰσχίον πονέσῃ.*
*καὶ γὰρ οἱ Δίδυμοι δεινοὶ   εἰς ἰσχία καὶ νεῦρα.*
*ἐν δὲ Καρκίνῳ ἀβλαβῶς   ἀπαλλάξει τῆς νόσου,*

---

M V: 1801 *ἰδέ τε ἄν* V ‖ 1802 *φύγε* M | *λάβε* (so) M V ‖ 1803 *εἰ δ' ἐν ζυγῶ* V ‖ 1805 *ἵνα ἀπαθὴς* M ‖ 1807 *ἄνδρα* M ‖ 1809 *ἐν δὲ τῷ τοξότι* V ‖ 1810 *ὠφελήσεται* V ‖ 1811 ☾ M V ‖ 1812 *ἢ τὸ* M: *ἥ τε* V

1815—1847 M V. M hat *ρλβ' περὶ νόσων* f. 94r; V hat f. 326v und im Index f. 27v *ροα' · καὶ περὶ ἀσθενούντων* ‖ 1815 *καὶ περὶ νόσων ἄκουσον* M: *περὶ δὲ νόσων ἄκουσον* V und so auch noch im Index des V f. 27v | *ἐκ* M: *περὶ* V ‖ 1816 *τις κατακλιθῇ οὗτος* V: *κατακλιθῇ τίς πως* M ‖ 1817 *διαβάσει* M V ‖ 1818 *κεφαλγικῆς* V ‖ 1819 *ἐν δὲ τῆς πάρεσιν* V ‖ 1820 *παρακύψας* V ‖ 1821 *συνάχϊν* M: *συνάχην* V (*συναγχικὸν πάθος* Max.) ‖ 1822 *τῶν νοσούντων* V ‖ 1824 *χρόνιος* M V (*χρονίως* Max.) ‖ 1826 *ἠρεμήσει* V: *ραΐσῃ* M (*ῥαΐσει* Max.) | *πονέσῃ* (so) M V ‖ 1827 *δεινὸς ἐν ἰσχία* V ‖ 1828 *ἐν καρκίνω* gekürzt M | *τὴν νόσον* M

---

1809 und 1810 steht bei Max. vor 1789 ‖ 1817 *διαβάσει,* ebenso Cat. IV, 162

πλὴν οἱ τὸ στῆθος ἀλγοῦντες   ἢ τοὺς πόδας πληγέντες
ἐπικινδύνως ἕξουσιν   ἐκ τοῦ Καρκίνου πάντες.
σφαλερὸν ἐν τῷ Λέοντι   τῷ νοσοῦντι προσπέλει·
δεῖ οὖν κενῶσαι τάχιστα   τὴν ἑαυτοῦ γαστέραν·
ἐν δὲ Παρθένῳ χρόνιος   ἡ νόσος τῷ νοσοῦντι,
ἀλλ' ἐλαφρὰ καὶ ἀκίνδυνος,   εἰ μὴ πλευρὰς πονέσῃ
καὶ στόμαχον, καὶ αἵματος   ῥύσις ἐπέλθῃ τούτῳ.
ἐν δὲ Ζυγῷ κατακλιθεὶς   εἴτ' ἐκ τάχους σωθείη
ἢ τελευτήσει ἐκ παντὸς   μακρονοσήσας οὗτος.
Σκορπίος γὰρ τὴν πρώτιστον   ἡμέραν ἐξειλήσει,
τὴν δὲ δευτέραν δύσκολον   ἕξει τὴν ἀρρωστίαν.
ἐν δὲ Τοξότῃ παντελῶς   ἀκίνδυνον τὸ σῖνος,
ἐν δ' Αἰγοκέρῳ τὸ αὐτὸ   πλὴν πλευρῶν καὶ ἰσχίων·
ἐν δ' Ὑδροχῷ τὸ ἀβλαβὲς   ἔξωθεν τοῦ ὑδέρου.
ἐν δ' Ἰχθύσι τὸ κάλλιστον   φέρει ταῖς ἀρρωστίαις
ἐκτὸς κοιλιακῶν νόσων   καὶ τῶν ποδῶν τὰ ἄλγη·
ἡ γὰρ Σελήνη σὺν Διί,   Ἑρμῇ καὶ Ἀφροδίτῃ
ἐπικουφίζει μάλιστα   τὰς νόσους τῷ νοσοῦντι,
μετὰ δὲ Κρόνου καὶ Ἄρεος   προσεπιτείνει μᾶλλον.

### 6. *Περὶ γυναικῶν ἐγκυμόνων.*

Μετὰ τῶν πέντε πλανητῶν   ἡ Σελήνη τυχοῦσα,
μὲ τῶν καλῶν ἢ τῶν κακῶν   βλάπτει τὰς γυναικίτζας,
ὅτε γεννῶσιν, ἐκ παντός·   κρεῖσσον γάρ, ἡ Σελήνη
ὅτε μόνη καθ' ἑαυτὴν   συμβάλλουσα, πρὸς γένναν·
καὶ γὰρ ἐν πρώτῃ τοῦ Κριοῦ   εἰ γυνὴ ἐκτιτρώσκει,
κίνδυνος ἐπικείσεται   ταύτῃ τε θανατώδης,
ἐν δὲ δευτέρᾳ τάχιστα   σωθήσεται τῆς γέννας.
ἐν δὲ τῷ Ταύρῳ πρώτιστον   ἡμέραν κινδυνεύσει,
τῇ δὲ δευτέρᾳ ἐλαφρὸν   τὸ κακὸν παρὰ τόδε,

---

M V: 1829 *πληγέντες τοὺς πόδας* M ‖ 1830 *ἐπικινδύνως* M | *πάντως* M ‖ 1831 *ἐν* M: *δὲ* V | *τὸν . . σοῦντα ὑπάρχει* V ‖ 1832 *γαστέρι* M ‖ 1833 *χρόνιος* M V (*χρονία* Max.) | *τῶν νοσοῦντων* V ‖ 1834 *ἔν λαφρὰ κ'* V | *ἡ πλεῦρα οὐ πονέσει* V ‖ 1836 *εἴτ' ἐκ τάχους* V: *ἢ τάχος ἂν* M ‖ 1837 *μακρονοσίαν* V ‖ 1838 *ἐξελεύσει* V ‖ 1840 *πατελῶς* M ‖ 1841 *δὲ* M ‖ 1843 *ἰχθύσιν* V ‖ 1844 *τοὺς ἄλγους* V ‖ 1845 *ἡ* V: *εἰ* M ‖ 1846 *τῶν νοσούντων* V ‖ 1847 *δὲ* fehlt V

1848—1866 M V. M f. 95r ohne Titel, V hat Vers 1848 und 1849 noch f. 326v am Ende des vorigen Kapitels (*περὶ ἀσθενούντων*) ohne Titel; dagegen Vers 1850—1866 auf f. 341v mit der Überschrift *ρϞη' περὶ γυναικῶν ἐγκειμόνων*; letztere steht auch im Index des V f. 28r, dazu *ὅτε γεννῶσ. ἐκ παντὸς κρείσσον· ἡ γὰρ σελήνη, καθ' ἑαυτὴν* ‖ 1848 *μετὰ*] *ἐκ δὲ* M V | *λαχοῦσα* V ‖ 1849 *μὲ*] *ἐκ* M V | *ἢ τῶν* M: *εἴτε* V ‖ 1850 *ἡ γὰρ* V ‖ 1851 *ὅτε μόνη* fehlt V | *συμβαλοῦσα* M | *πρὸς γαίαν* V ‖ 1852 *ἐν* M: *ἡ* V | *εἰ* M: *ἡ* V

---

1829 wörtlich = Max. 87, 21 f.

*ἐν δὲ Διδύμοις κίνδυνος  μέγας τῇ γεννησάσῃ,*
*εἰ μή τις ἀγαθοποιὸς  τῇ Μήνῃ μαρτυρήσει.*
*ἐν δὲ Καρκίνῳ κάλλιστον  καὶ κίνδυνον οὐκ ἔχει.*
*ἐπισφαλὲς ἐν Λέοντι  πέλει ταῖς τεκνουμέναις.*
*ἐν δὲ Παρθένῳ καὶ Ζυγῷ,  ἀλλὰ καὶ τῷ Σκορπίῳ*
*δυσκόλως ἐκτιτρώσκουσι  καὶ σφαλερῶς τὰ πάντα.*
*ἐν δὲ Τοξότῃ τὸ δεινὸν  οὐδαμῶς ἐπιβλέψει.*
*ἐν δ' Αἰγοκέρῳ κίνδυνον  οὐκ ἔχει πρὸς τὴν πρώτην,*
*τὴν δὲ δευτέραν τὸ κακὸν  καὶ δύσκολον ἐν γέννᾳ·*
*ἐν δ' Ὑδροχῷ τὸ ἀνάπαλιν  τοῦ Αἰγοκέρου πέλει.*

## 7. Περὶ δραπετῶν.

*Ἐκ δὲ Σελήνης πρόγνωθι  περὶ δραπετευόντων·*
*αὐτῆς γὰρ οὔσης ἐν Κριῷ  ὁ φυγὼν ταχυτάτως*
*οὗτος φανερωθήσεται  ἢ μόνος ἐπανήξει·*
*ἐν δὲ τῷ Ταύρῳ κρύπτεται  οἴκῳ ἀνδρὸς πλουσίου*
*καὶ δύσκολον τὴν εὕρεσιν  ὁ δραπετεύσας ἔχει.*
*ἐν δὲ Διδύμοις ὁ φυγὼν  εἴσω τῆς ἑβδομάδος*
*ληφθήσεται κακὴν κακῶς·  εἰ δὲ διέλθῃ ταύτην,*
*μέχρι μηνῶν παραδρομὴν  τριῶν οὐχ εὑρεθείη.*
*ἐν δὲ Καρκίνῳ ὁ φυγὼν  ἐν τῇ πρώτῃ ἡμέρᾳ*
*εἰς ἱερὸν κρυβήσεται  καὶ τῇ δευτέρᾳ πάλιν*
*ὑπόσπονδος ἐξ ἱεροῦ  ἀχθῇ πρὸς τοὺς δεσπότας·*
*Σελήνης δ' ἐν τῷ Λέοντι  ὁ φυγὼν ἐν τῇ πρώτῃ*
*ἡμέρᾳ οὐχ εὑρεθήσεται.  ἐν δέ γε τῇ δευτέρᾳ*
*οὐ τελειώσει τὴν φυγήν,  ὅσα καὶ βουληθείη.*
*ἐν οἴκῳ γὰρ φανερωθῇ  ἀνδρὸς πεπλουτισμένου.*
*ζήτει δ' αὐτὸν ἢ ἐν ἀγρῷ  εἴτε καὶ ἐν κηπίῳ.*
*εἰ δ' ἐν Παρθένῳ φεύξεται,  ἐν πολλαῖς ταῖς ἡμέραις*
*κρυβήσεται πρὸς λόχμην τε  καὶ συνδενδρώδη τόπον·*
*ἐν δὲ Ζυγῷ αὐτόβουλος  ἑκὼν προσυποστρέψει*
*καὶ δικαιολογούμενος  οὗτος πρὸς τὸν δεσπότην.*
*καὶ τοῦτο πάλιν γίνεται  Σελήνης ἐν Σκορπίῳ.*
*ἐν δὲ Τοξότῃ ὁ φυγὼν  ἰσοῦται τοῖς Διδύμοις·*
*ἐν δ' Αἰγοκέρῳ ζωγρηθεὶς  ἐν ξενωτάτῳ τόπῳ*
*ταχέως εἰσαχθήσεται  πρὸς ἴδιον δεσπότην·*
*ἐν δ' Ὑδροχῷ προσακουσθῇ  ἐν ξένῃ χώρᾳ εἶναι*
*παρὰ ἀνδρὶ δημαγωγῷ  εἴτε καὶ στρατιώτῃ·*
*ἐν τοῖς Ἰχθύσιν ὁ φυγὼν  ἐν τῇ πρώτῃ ἡμέρᾳ*

---

M V: 1857 *δε διδύμοις* gekürzt in M ‖ 1858 *μητ.* V ‖ 1860 *ἐπισφαλὴς* V | *τεκνουμέναις* M V ‖ 1863 *ἐπιβλεπ.* V ‖ 1864 *δὲ* M ‖ 1865 *τη δὲ δευτέρα τε κακὸν* V

1867—1912 M, *ρλγ'*, f. 95v. Von 1867—2001 ist M einzige Überlieferung. ‖ 1873 *κακϊνκάκως* ‖ 1876 und 1879 *δευτρ..* gekürzt ‖ 1884 *συνδεδρώδη* (*δασεῖ τόπῳ* Max.) ‖ 1887 ☾ *ἐν* ‖ 1889 *δὲ* | *ξενόττ..*

δυσκόλως κινδυνεύσειεν, ἐν δέ γε τῇ δευτέρᾳ
πολλὰ κακοπαθήσειε, προσεπανήξας πάλιν
πρὸς δεσπότην τὸν ἴδιον ἀβλαβὴς τηρηθείη·
ἡ γὰρ Σελήνη ἄνευθεν ἀστέρος πλανωμένου
κενοδρομοῦσα καθ' αὐτὴν δηλοῖ τὸν ἀποδράντα
πλησίον πλανᾶσθαι τῆς μονῆς τοῦ ἰδίου δεσπότου.
ἂν δέ τινι τῶν πλανητῶν ἡ Σελήνη σύνουσα,
μακρὰν προσαπελεύσεται ὁ δραπετεύσας τότε·
ἀλλ' ὅτε Κρόνος μάλιστα ἢ Ἄρης συνοδεύει,
τὸν <μὲν> φυγόντα προσποιεῖ δέσμιον κρατηθῆναι·
εἰ δὲ πολλάκις σὺν αὐτῇ ὁ Ζεὺς καὶ Ἀφροδίτη,
ὁ φυγὼν οὐ φανήσεται οὔτε μὴν εὑρεθείη.
εἰ δέ γε συνοδεύσειεν τὸν Ἑρμῆν ἡ Σελήνη,
εὐθέως εὑρεθήσεται ὁ φυγὼν καὶ ῥᾳδίως.
Σελήνη συνοδεύουσα ἢ καὶ διαμετροῦσα
Ἡλίῳ τῷ πυρφλέγοντι τὴν φυγὴν ἐκτοπίζει.
πάλιν δὲ συνοδεύουσα τῷ δεινοτάτῳ Κρόνῳ
δηλοῖ τὸν δραπετεύσαντα ὑπό τινων κακούργων
γυμνὸν γενέσθαι καθ' ὁδὸν τῶν τούτου ἐνδυμάτων.

## 8. Περὶ χειρουργίας.

Ἄλλο δὲ πάλιν θαυμαστὸν περὶ τῆς χειρουργίας·
Σελήνης ἐν τοῖς τροπικοῖς προσούσης τῶν ζῳδίων
κακὸν εἰς τὸ χειρούργημα καὶ πρὸς τομὴν ὑπάρχει·
Σελήνη συνοδεύουσα Ἡλίῳ τόδε φέρει·
τοῦτο καὶ πρὸς πανσέληνον δηλοῖ τῆς χειρουργίας·
Ἄρης εἰ τύχῃ καὶ γενῇ πρὸς μοῖραν ὡρ<οσκόπου>
εἴτε καὶ συνοδεύσειε τῇ φαεινῇ Σελήνῃ,
βλάπτει τὸν χειρουργούμενον· ἐκ τοῦ γὰρ ἐκ δευτέρου
πάλιν τομὴ γενήσεται ἢ ῥύσις αἱματώδης·
εἰ δὲ Σελήνη σύνοδον μετὰ Κρόνου ποιοῦσα,
τὰ κακὰ πολυχρόνια φέρει ταῖς χειρουργίαις·
Σελήνη μετὰ τοῦ Διὸς ἢ καὶ τῆς Ἀφροδίτης
λειψιφωτοῦσα μάλιστα καλὴ τὴν χειρουργίαν,
ὁ Ζεὺς σὺν Ἀφροδίτῃ δὲ ἴσως ὡρ<οσκοπήσας>

---

M: 1902 *ἀλλ' ὅτε*] *ὅτε γὰρ* M (*ἀλλ' εἰ μὲν* Max.) || 1905 *οὔτε μὴν* (so), (*καὶ οὐ μὴ* Max.) || 1908 *διαμετροῦσα* M (*πανσεληνιάζουσα* Max.) || 1909 *ἥλιος* gekürzt (*ἡλίῳ* Max.) || 1910 *δεινότ..* || 1912 *τουτ*.

1913—1929 M *ρλδ'* f. 96r || 1916 *ἥλιος*, gekürzt ☉ || 1917 *πρὸς* ÷, gekürzt wie 1939; (*πανσεληνιαζούσης* Max. vgl. 1908) || 1918 *γενῇ προ. μοι.. ωρ* || 1921 *τομὴ* Max.] *τὸ καὶ* || 1922 *κρόνος*, gekürzt ♄ || 1925 *καλὴ* M (*καλὴν* Max.) || 1926 *ωρ* als Kürzung

---

1909 *πυρφλέγοντι* vgl. 3180 *σέλας τὸ πυρφλέγον*; (*πυριφλέγοντι*? vgl. 768) || 1918 *γενῇ* vgl. *ἐγίνηκα* (*γινῇ*) Thumb, Handb. d. neugr. Volksspr., Straßburg 1895, S. 94

*ἀγαθὸν τὸ χειρούργημα καὶ τὴν τομὴν δηλοῦσι·*
*τὰ δ' εἰρημένα πάντα δὲ κοινῶς συνυπακούει*
*ἐν σικύαις καὶ καύστραις τε καὶ ταῖς φλεβοτομίαις.*

### 9. *Περὶ παραδόσεως τεχνῶν.*

*Τὸ δ' ἄλλο περὶ τῶν τεχνῶν πάσης διδασκαλίας·*
*ὅταν Σελήνη πρὸς Κριὸν ἢ καὶ πρὸς τοὺς Διδύμους*
*εἴτε καὶ πρὸς τὴν κάλλιστον Παρθένον συνυπάρχῃ,*
*ὑπὸ Διὸς καὶ Παφίας αὕτη μαρτυρουμένη*
*πρὸς τρίγωνον, ἑξάγωνον ἢ καὶ πρὸς ἄλλο σχῆμα*
*τὸν τέχνης καταρξάμενόν τινος εἴτ' ἐπιστήμης*
*δηλοῖ καλῶς καὶ θαυμαστῶς ἀποτελέσαι ταῦτα.*
*τοῦτο δὲ δεῖ παρατηρεῖν ἐν τούτοις τὴν Σελήνην*
*ζῳδίοις οἷς προείπομεν μὴ εἶναι σὺν Ἡλίῳ*
*ἢ καὶ κατὰ διάμετρον ἢ τούτῳ συνοδεύει.*

### 10. *Περὶ φυτείας.*

*Τὸ δὲ φυτεύειν ἄκουσον καὶ καλῶς ἐκμαθήσῃ.*
*ὅταν Σελήνη πρὸς Κριόν, τότε καλὸν φυτεύειν*
*καὶ γῆν ἀργὴν βωλοστροφεῖν καὶ σπείρειν ἀναγκαῖον,*
*κατασκευάζειν καὶ σηκούς, ἐν δὲ τῷ Ταύρῳ πάλιν*
*συμφέρει πάντα πραγμάτων γηπονικῶν εἰσπράττειν,*
*μισθίους δὲ γεωργικοὺς οὐ συμφέρει μισθῶσαι.*
*ἐν δὲ Διδύμοις κάλλιστον τὸ σπείρειν καὶ φυτεύειν,*
*πρὸς δὲ Καρκίνου κήπους <τε, ἀλλὰ> τὰ κατωρύγια·*
*ἐν δέ γε καὶ τῷ Λέοντι κριθὴν καὶ σῖτον μόνον*
*ἅπαντα τὰ σπερόμενα καὶ φυτευόμενά τε,*
*ἐν δὲ Παρθένῳ κάλλιστον ἔξωθεν τῆς ἀμπέλου·*
*ἐν δὲ Ζυγῷ καὶ Σκορπίῳ πάντα ποιεῖν ἁρμόζει,*
*πρὸς τούτοις καὶ γεωμετρεῖν τὸ κρεῖττον τούτων ἐστιν.*
*Σελήνη τῷ Τοξότῃ δέ, σπείρειν οὐ δεῖ κἂν ὅλως,*
*εἰ μή γε μάνδρας καὶ σηκοὺς κτήνεσιν ἀπαλλάσσειν,*
*πρὸς χόρτους δὲ καὶ ἄχυρα καλὸν καὶ τοῦτο πέλει.*
*ἐν δ' Αἰγοκέρῳ συμφέρει πᾶσαν κτηνῶν ἀγέλην*

---

1930—1939 M *ρλε'* f. 96v ‖ 1931 *διδύμους* ausgeschrieben (*καρκίνῳ* Max.) ‖ 1934 *τρίγωνον ἑξάγωνον* durch Zeichen gekürzt ‖ 1939 *διάμετρον*?], gekürzt ÷ wie 1917 (Max. 92, 25 hat hierzu *διαμετρῇ*), vgl. Cat. IV, Tafel 1 aus Cod. Laur. 28, 14 f. 309: ○—○ *διάμετρος* | *συνοδεύει* (so)
1940—1968 M *ρλς'* f. 96v ‖ 1944 *πάντων* ‖ 1945 *μισθῳ* . . . unlesbar ‖ 1947 *τε ἀλλὰ*] *καὶ* ‖ 1949 *δὲ τὰ σπερόμ . . α*, vgl. *σπερομένων* 3404 BP ‖ 1950 *τ . . ἀμπέλ . .* undeutlich ‖ 1956 *ἐν δὲ τῶ αἰγοκέρω* (gekürzt)

---

1929 *φλεβοτομία* nicht erwähnt in der Maximusmetaphrase, sondern nur in der poetischen Fassung Vers 318 f. *εἰ φλέβα κεῖραι . . . ἱμείρεις* ‖ 1947 *κατωρύγια*: *κατωρυγιάζειν* Max. ‖ 1955 *ἀχυρμιὰς* Max.

εἰς ἄλλον τόπον καθιστᾶν   ὡς γίνεσθαι πολλάκις
τὸ χειμάζειν εὐθιεινῶς   τῶν κτηνῶν τὰς ἀγέλας
ἢ καὶ πάλιν διάψυχρα   ὕδατα ἐν τῷ θέρει.
ἐν δ' Ὑδροχῷ γεωμετρεῖν,   ἀροτριᾶν, φυτεύειν.
ἐν τοῖς Ἰχθύσι γεωργεῖν   καὶ τὰς ἀμπέλους κάμνειν.
Σελήνης δὲ μετὰ Διὸς   <ἢ> καὶ τῆς Ἀφροδίτης,
ἂν ἔχωσι καὶ τὸν Ἑρμῆν,   πάντα τὰ εἰρημένα,
ὅσα μέν ἐστιν ἀγαθὰ   ἐν ἑκάστῳ ζῳδίῳ,
πρὸς εὐφορίαν ἅπαντα   τὰ γεγραμμένα φέρει,
τὰ δ' ἄλλα τῶν κακώσεων   ἐλαττοῖ τε καὶ φθείρει·
μετὰ δὲ Ἄρη Κρόνου τε   ἡ Σελήνη προσοῦσα,
αὔξησιν νόει τῶν κακῶν,   τῶν δὲ καλῶν ἀστοχίαν.

## 11. Περὶ τῶν ἐν δεσμοῖς κατεχομένων.

Ἂν δ' ἐν δεσμοῖς εἰσί τινες,   πρόσεχε τὴν Σελήνην·
πρὸς τὸν Κριὸν Διδύμους τε   Καρκίνον καὶ τὸν Θῆρα,
ὃν λέγουσι τὸν Λέοντα,   καί τις εἰ δεσμευθείη,
πολὺν χρόνον ἐν τῷ δεσμῷ   παραμείνει ὁ τάλας,
ὁ δέ γε πρὸς Σκορπίον τε   Τοξότην καὶ τὸν Ταῦρον,
Διδύμους καὶ Παρθένον τε   λυθήσεται ταχέως.
ὁ δ' ἐν Ἰχθύσι δεσμευθεὶς   ἐν εἱρκτῇ τελευτήσει
ἢ μετὰ χρόνον ἄπειρον   οὗτος ἐκλυτρωθείη.
Σελήνη τοὺς τῶν ἀγαθῶν   ἀστέρων προσορῶσα,
ὁ δεθεὶς ἔχει σύντομον   τὴν ἔκβασιν ῥαδίως,
καὶ τοὺς κακοὺς δὲ βλέπουσα   σημαίνει τοὐναντίον.

## 12. Περὶ κλοπιμαίου.

Πάλιν Σελήνης ἐν Κριῷ   τὸ κλαπὲν εὑρεθείη·
ἐν δὲ τῷ Ταύρῳ πρός τινα   δυναστῶν ἐν τῷ πρώτῳ
δεκανῷ εἰ κλαπήσεται,   τὸ πρᾶγμα προσαπέλθῃ
καὶ δύσκολον τὴν εὕρεσιν   τούτου προσαποφαίνει·
ἐν ταῖς μοίραις δὲ ταῖς λοιπαῖς   τῶν δεκανῶν τῶν ἄλλων
τὴν εὕρεσιν ἐκφαίνει γὰρ   ἡ Σελήνη ταχέως,
εἰ μὴ τῷ Ἄρει συμπαρῇ   πρὸς σχῆμά τε καὶ σῶμα.
ἐν δὲ Διδύμοις εὑρεθῇ   μετὰ μικρᾶς τῆς βλάβης;
πρὸς δὲ Καρκίνον εἰ χρυσὸς   ἢ ἄργυρος τυγχάνει,
ταχέως εὑρεθήσεται·   πρᾶγμα δ' εἰ πέλει ἄλλο,
κρυβήσεται καὶ μηδαμῶς   ἀναφανῇ κἂν ὅλως.

---

M: 1959 *διὰ ψυχρὰ* || 1962 ☾ || 1967 *ἄρης κρόνος* durch Zeichen gekürzt

1969—1979 M *ρλζ'* f. 97r || 1969 *δ' ἐν*] *δὲ* || 1974 *διδ.* (nur Zeichen) M, (*ζυγῷ* Max.) || 1976 *εὐλῦτωθείη*

1980—2001 M *ρλη'* f. 97r || 1980 *σελήνη* gekürzt || 1981 *πρός τινα* Max.] *πρώτιστον* M || 1983 *προσαποφαίνου*? || 1984 *δὲ ταῖς διπλαῖς μᾶλλον δὲ ταῖς λοιπαῖς* || 1986 *ἄρει* gekürzt || 1988 *εἰ* Max.] *η* (?)

*τῆς Μήνης δ᾽ ἐν τῷ Λέοντι  τὸ κλαπὲν παραυτίκα*
*διχόνοιαν πρὸς εὕρεσιν  καὶ δισταγμὸν σημαίνει,*
*ἐν δὲ Ζυγῷ φανερωθῇ,  ἀλλὰ καὶ τῷ Σκορπίῳ·*
*Τοξότῃ γὰρ οὐδέποτε,  βραδὺ δ᾽ ἐν Αἰγοκέρῳ.*
*ἀμφίβολον δ᾽ ἐν Ὑδροχῷ,  παρὰ δὲ τοῖς Ἰχθύσι*
*πολλὰ νὰ ἔλθουν, πολλὰ νὰ εἰποῦν·  „συγχαίρομαί σε τώρα·*
*εὑρήκαμεν τὸ πρᾶγμά σου  καὶ δός μας συγχαρίκια.“*
*ἐκεῖνοι γὰρ νὰ ψεύδωνται  καὶ σὺ μή τους πιστεύσῃς.*
*Σελήνη μετὰ τῶν δεινῶν  ἀστέρων κατὰ σχῆμα*
*ῥᾳδίαν εὕρεσιν ποιεῖ  τῶν ἀποκλεπτομένων,*
*μετὰ δέ γε τῶν ἀγαθῶν  ἀνεύρετον τυγχάνει.*

---

M: Ein Vers über *Παρθένος* fehlt nach 1992 ‖ 1994 *τοξ.* nur Zeichen | *οὐδεπ.* ‖ 1995 *ἀμφίβαλον* | *παρὰ* (?) ‖ 1998 *ψεύδρυνται* ‖ 2001 *ἀνεύρετον* Max.] *ἀνεύρεσις* M ‖ Im Cod. M folgt hierauf unmittelbar von Kamateros noch f. 97ᵛ *ρλθ᾽ περὶ καταρχῶν*, siehe 2335—2353, f. 98ʳ *ρμ᾽ περὶ δωδεκατημορίου*, siehe 3003—3028